08 Νοεμβρίου 2026

Ευαγγελικό Ανάγνωσμα
(Κατά Λουκάν η΄ 41-56)

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν προς τον Ιησοῦν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχε· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα, καὶ αὕτη ἀπέθνησκεν. Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν. Καὶ γυνὴ οὖσα ἐν ρύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις ἰατροῖς προσαναλώσασα ὅλον τὸν βίον οὐκ ἴσχυσεν ὑπ᾽ οὐδενὸς θεραπευθῆναι, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, καὶ παραχρῆμα ἔστη ἡ ρύσις τοῦ αἵματος αὐτῆς. Καὶ εἶπεν ὁ Ἰησοῦς· τίς ὁ ἁψάμενός μου; ἀρνουμένων δὲ πάντων εἶπεν ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ· ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, καὶ λέγεις τίς ὁ ἁψάμενός μου; Ὁ δὲ Ἰησοῦς εἶπεν· ἥψατό μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ᾽ ἐμοῦ. Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε καὶ προσπεσοῦσα αὐτῷ δι᾽ ἣν αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα. Ὁ δὲ εἶπεν αὐτῇ· θάρσει, θύγατερ, ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην. Ἔτι αὐτοῦ λαλοῦντος ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων αὐτῷ ὅτι τέθνηκεν ἡ θυγάτηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον. Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ λέγων· μὴ φοβοῦ· μόνον πίστευε, καὶ σωθήσεται. Ἐλθὼν δὲ εἰς τὴν οἰκίαν οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα εἰ μὴ Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε· μὴ κλαίετε· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. Αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας καὶ κρατήσας τῆς χειρὸς αὐτῆς ἐφώνησε λέγων· ἡ παῖς, ἐγείρου. Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα, καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτοῦ. Ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

Μετάφραση
(Κατά Λουκάν η΄ 41-56)

Εκείνο τον καιρό ένας άνθρωπος πλησίασε τον Ιησού τον έλεγαν Ιάειρο και αυτός ήταν προϊστάμενος της συναγωγής· έπεσε στα πόδια του Ιησού και τον παρακαλούσε να μπει στο σπίτι του, γιατί είχε μια μοναχοκόρη ως δώδεκα χρονών και ήταν ετοιμοθάνατη Και εκεί που πήγαινε ο Ιησούς ο πολύς κόσμος τον έπνιγε. Και μια γυναίκα που είχε αιμορραγία εδώ και δώδεκα χρόνια και είχε ξοδέψει όλο της το β σε γιατρούς και από κανένα δεν είδε γιατρειά, πλησίασε από πίσω και άγγιξε την άκρη από το ρούχο του Ιησού και αμέσως σταμάτησε η αιμορραγία της. Και είπε ο Ιησούς· Ποιος με άγγιξε; Και ενώ αρνιούνταν όλοι, είπε ο Πέτρος και εκείνοι που ήταν μαζί του. Κύριε, ο κόσμος σε σπρώχνουν και πέφτουν επάνω σου και συ λες· Ποιος με άγγιξε; Και ο Ιησούς είπε· Κάποιος με άγγιξε· γιατί εγώ κατάλαβα πως βγήκε δύναμη από πάνω μου. Και όταν είδε η γυναίκα πως δεν μπόρεσε να του κρυφτεί, ήλθε τρέμοντας, γονάτισε μπρος του και του εξομολογήθηκε μπροστά σ όλο τον κόσμο για την αιτία που τον άγγιξε και πώς γιατρεύτηκε αμέσως. Και ο Ιησούς της είπε· Έχε θάρρος κόρη μου, η πίστη σου σε έσωσε, πήγαινε στο καλό. Ενώ ακόμα μιλούσε, έρχεται κάποιος από το σπίτι του αρχισυναγώγου και του λέγει· πέθανε η θυγατέρα σου, μην ενοχλείς το διδάσκαλο. Και ο Ιησούς που το άκουσε αποκρίθηκε στον αρχισυνάγωγο και του λέγει· Μη φοβάσαι· μόνο να πιστεύεις και θα σωθεί. Και όταν μπήκε στο σπίτι δεν άφησε να μπει κανένας παρά μόνο ο Πέτρος και ο Ιάκωβος και ο Ιωάννης και ο πατέρας του κοριτσιού και η μητέρα. Έκλαιγαν όλοι και θρηνούσαν το παιδί. Και εκείνος τους είπε- Μην κλαίτε- δεν πέθανε, αλλά κοιμάται. Και τον γελούσαν, γιατί ήξεραν πως πέθανε. Και ο Ιησούς αφού τους έβγαλε όλους έξω, κράτησε από το χέρι το κορίτσι, του μίλησε και του είπε· Παιδί μου, σήκω. Και ξαναγύρισε το πνεύμα του παιδιού και αναστήθηκε αμέσως και ο Ιησούς έδωσε εντολή να του δώσουν να φάει. Οι γονείς του τα έχασαν και ο Ιησούς τους παράγγειλε να μην πουν σε κανέναν αυτό που γίνηκε.

Αποστολικό Ανάγνωσμα

(Προς Εβραίους β’ 2 – 10)

Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; Ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν. Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν, διεμαρτύρατο δέ πού τις λέγων· τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ· ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα· τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

Μετάφραση

(Προς Εβραίους β’ 2 – 10)

Ο παλαιός νόμος, που ελέχθη στον Μωϋσήν δια μέσου των αγγέλων, απεδείχθη έγκυρος και ισχυρός και κάθε παράβασις αυτού και παρακοή έλαβε σαν μισθόν της την δικαίαν τιμωρίαν, πως ημείς θα διαφύγωμεν την τιμωρίαν, εάν παραμελήσωμεν μίαν τόσον μεγάλην και ανεκτίμητον σωτηρίαν; Η σωτηρία δε αυτή ήρχισε να διδάσκεται από αυτόν τούτον τον Κυριον, παρεδόθη δε εις ημάς ως κατά πάντα βεβαία και αξιόπιστος από εκείνους, που την ήκουσαν κατ' ευθείαν από το στόμα του Κυρίου, δηλαδή από τους Αποστόλους. Επεβεβαίωνε δε το κήρυγμα των Αποστόλων και αυτός ο Θεός με θαύματα, με καταπληκτικά γεγονότα και με ποικίλας υπερφυσικάς δυνάμεις και με θεία χαρίσματα, τα οποία το Πνεύμα το Αγιον εμοίραζεν στους πιστούς κατά την θέλησιν του Θεού. Η υπεροχή του Χριστού φαίνεται και εκ του γεγονότος, ότι ο Θεός δεν υπέταξεν στους αγγέλους τον μέλλοντα κόσμον, που θα εγκαθιδρύετο από τον Μεσσίαν και περί του οποίου κόσμου κάμνομεν τώρα λόγον, αλλά τον υπέταξεν στον Χριστόν. Παραστατικά δε κάποιος εμαρτύρυσεν εις ένα χωρίον της Γραφής, λέγων· "τι αξίαν έχει ο άνθρωπος, ώστε να τον ενθυμήσαι η το τέκνον του ανθρώπου, ώστε να τον επισκέπτεσαι με την πατρικήν σου φροντίδα; Τον έκαμες κατά τι κατώτερον από τους αγγέλους, με δόξαν και τιμήν ως βασιλέα της κτίσεως τον εστεφάνωσες. Ολα υπέταξες κάτω από τους πόδας του". Και εφ' όσον ο Θεός Πατήρ υπέταξε εις αυτόν τα πάντα, δεν αφήκε τίποτε, που να του μένη ανυπότακτον. Τωρα όμως δεν βλέπομεν ακόμη να είναι όλα απολύτως υποταγμένα στον ενανθρωπήσαντα Υιόν του Θεού. Τον δε Ιησούν, ο οποίος επί μικρόν χρονικόν διάστημα έγινε κατώτερος από τους αγγέλους, (εφ' όσον έπαθε και απέθανεν επί του σταυρού) τον βλέπομεν, ότι ακριβώς λόγω του παθήματος του θανάτου, έχει στεφανωθή με δόξαν και τιμήν· έπαθε δε και εγεύθη το πικρόν ποτήριον του θανάτου δια την χάριν, που ηυδόκησε να κάμη ο Θεός υπέρ της σωτηρίας του κάθε ανθρώπου. Διότι έπρεπεν στον Θεόν, τον δημιουργόν του παντός, προς τον οποίον αποβλέπουν τα πάντα και δια του οποίου κατευθύνονται και κυβερνώνται τα πάντα, να αναδείξη και αποδείξη τέλειον, δια μέσου των παθημάτων, τον αρχηγόν και αίτιον της σωτηρίας των, δηλαδή τον Χριστόν, εφ' όσον είχε την πανάγαθον απόφασιν πολλούς ανθρώπους να οδηγήση εις την δόξαν.